## HERODOTUS, HISTORIES, 1.29–30

29. [1] κατεστραμμένων δὲ τούτων
καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι,
ἀπικνέονται
ἐς Σάρδις ἀκμαζούσας
πλούτῳ ἄλλοι
τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί,
οἳ τοῦτον τὸν χρόνον
ἐτύγχανον ἐόντες,
ὡς ἕκαστος αὐτῶν
ἀπικνέοιτο,
καὶ δὴ καὶ Σόλων
ἀνὴρ Ἀθηναῖος,
ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας
ἀπεδήμησε ἔτεα δέκα
κατά θεωρίης πρόφασιν
ἐκπλώσας,
ἵνα δὴ μή
τινα τῶν νόμων
ἀναγκασθῇ,
λῦσαι τῶν ἔθετο.

[2] αὐτοὶ γὰρ
οὐκ οἷοί τε ἦσαν
αὐτὸ ποιῆσαι
Ἀθηναῖοι·
ὁρκίοισι γὰρ μεγάλοισι
κατείχοντο δέκα ἔτεα
χρήσεσθαι νόμοισι
τοὺς ἄν σφι Σόλων θῆται.

30. [1] αὐτῶν δὴ ὦν τούτων
καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων
εἵνεκεν ἐς Αἴγυπτον
ἀπίκετο
παρὰ Ἄμασιν
καὶ δὴ καὶ ἐς Σάρδις
παρὰ Κροῖσον.

ἀπικόμενος δὲ
ἐξεινίζετο
ἐν τοῖσι βασιληίοισι
ὑπὸ τοῦ Κροίσου·

μετὰ δὲ ἡμέρῃ τρίτῃ
ἢ τετάρτῃ
κελεύσαντος Κροίσου
τὸν Σόλωνα θεράποντες περιῆγον
κατὰ τοὺς θησαυρούς,
καὶ ἐπεδείκνυσαν
πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια.

[2] θεησάμενον δέ μιν τὰ πάντα
καὶ σκεψάμενον
ὥς οἱ κατὰ καιρὸν ἦν,
εἴρετο ὁ Κροῖσος
τάδε.
«ξεῖνε Ἀθηναῖε,
παρ᾽ ἡμέας γὰρ
περὶ σέο
λόγος ἀπῖκται πολλὸς
καὶ σοφίης εἵνεκεν τῆς σῆς
καὶ πλάνης,
ὡς φιλοσοφέων
γῆν πολλὴν
θεωρίης εἵνεκεν
ἐπελήλυθας·

νῦν ὦν ἐπειρέσθαι
με ἵμερος ἐπῆλθέ σε
εἴ τινα ἤδη πάντων
εἶδες ὀλβιώτατον.»

[3] ὃ μὲν ἐλπίζων
εἶναι ἀνθρώπων ὀλβιώτατος
ταῦτα ἐπειρώτα·

Σόλων δὲ
οὐδὲν ὑποθωπεύσας
ἀλλὰ τῷ ἐόντι χρησάμενος
λέγει
«ὦ βασιλεῦ,
Τέλλον Ἀθηναῖον.»

[4] ἀποθωμάσας δὲ Κροῖσος
τὸ λεχθὲν
εἴρετο ἐπιστρεφέως·
«κοίῃ δὴ κρίνεις
Τέλλον εἶναι ὀλβιώτατον;»

ὁ δὲ εἶπε
Τέλλῳ τοῦτο
μὲν τῆς πόλιος εὖ ἡκούσης
παῖδες ἦσαν
καλοί τε κἀγαθοί,
καί σφι εἶδε ἅπασι

τέκνα ἐκγενόμενα
καὶ πάντα παραμείναντα·

τοῦτο δὲ τοῦ βίου
εὖ ἥκοντι,
ὡς τὰ παρ᾽ ἡμῖν,
τελευτὴ τοῦ βίου
λαμπροτάτη ἐπεγένετο·

[5] γενομένης γὰρ Ἀθηναίοισι μάχης
πρὸς τοὺς ἀστυγείτονας
ἐν Ἐλευσῖνι,
βοηθήσας
καὶ τροπὴν ποιήσας
τῶν πολεμίων
ἀπέθανε κάλλιστα,
καί μιν Ἀθηναῖοι
δημοσίῃ τε ἔθαψαν
αὐτοῦ τῇ περ ἔπεσε
καὶ ἐτίμησαν μεγάλως.»